βίου διέλαμψαν ἀρετήν, τίς ἡμῖν ἔσται παράκλησις, ποία συγγνώμη λοιπόν ;

Καὶ ναυαγίῳ μὲν περιπεσόντες πολλοὶ τῶν ἐμπόρων, οὐκ ἀνέπεσαν, ἀλλὰ πάλιν ἐπέβησαν τῆς αὐτῆς ὁδοῦ, καὶ ταῦτα οὐ παρὰ τὴν οἰκείαν ῥᾳθυμίαν, ἀλλὰ παρὰ τὴν τῶν πνευμάτων ἀνάγκην τῆς ζημίας γεγενημένης αὐτοῖς· ἡμεῖς δὲ οἱ περὶ τοῦ τέλους θαρρεῖν ἔχοντες καὶ ἀκριβῶς εἰδότες ὅτι μὴ βουλομένων ἡμῶν, οὔτε ναυάγιον, οὔτε ἡ περὶ τὸ τυχὸν ἡμῖν ζημία συμβήσεται, οὐχ ἁψόμεθα πάλιν αὐτῶν καὶ ἐμπορευσόμεθα καθάπερ καὶ πρότερον, ἀλλὰ κεισόμεθα ἀργοῦντες καὶ τὰς χεῖρας παρ' ἑαυτοῖς ἔχοντες ; Καὶ εἴθε παρ' ἑαυτοῖς μόνον, καὶ μὴ καθ' ἑαυτῶν, ὅπερ λαμπρᾶς μανίας ἐστίν. Καὶ γάρ, εἴ τις τῶν πυκτευόντων τὸν ἀνταγωνιστὴν ἀφεὶς κατὰ τῆς ἑαυτοῦ κεφαλῆς τρέποι τὰς χεῖρας καὶ τὴν οἰκείαν ὄψιν συγκόπτοι, ἆρα, εἰπέ μοι, οὐ μετὰ τῶν μαινομένων αὐτὸν κατατάξομεν ; Ὑπεσκέλισεν ἡμᾶς ὁ διάβολος καὶ κατέβαλεν οὐκοῦν ἐξαναστῆναι δεῖ, οὐχ ὑποσύρεσθαι πάλιν καὶ κατακρημνίζειν ἑαυτούς, καὶ ταῖς παρ' ἐκείνου πληγαῖς προστιθέναι τὰς παρ' ἑαυτῶν.

Καὶ γὰρ καὶ ὁ μακάριος Δαυὶδ ἔπεσεν πτῶμα τοιοῦτον οἷόν περ καὶ σὺ νῦν· καὶ οὐ τοιοῦτον μόνον, ἀλλὰ καὶ ἕτερον ἐφεξῆς, τὸ τοῦ φόνου λέγω. Τί οὖν ; ἔμεινε κείμενος ; καὶ οὐ διανέστη καὶ πάλιν παρετάξατο πρὸς τὸν ἐχθρόν ; Οὕτω μὲν